Sitzungsberichte
der
Bayerischen Akademie der Wissenschaften
Philosophisch-philologische und historische Klasse
Jahrgang 1924, 6. Abhandlung

Der s. g. Sermo maior de fide des Athanasius

von

E. Schwartz

Vorgetragen am 13. Dezember 1924

München 1925
Verlag der Bayerischen Akademie der Wissenschaften
in Kommission des G. Franzschen Verlags (J. Roth)

Der sogenannte Sermo maior de fide, den von den Sammelausgaben der athanasianischen und pseudoathanasianischen Schriften zuerst die paduaner von 1777 [t. III 4 ff.], dann deren Nachdruck in der PG 26, 1264 ff. enthalten, wurde von Montfaucon, wie er wenigstens behauptete, in einer Handschrift der Laurentiana entdeckt und unter den Nachträgen zu seiner Athanasiusausgabe von 1698 im zweiten Bande seiner Collectio noua patrum et scriptorum Graecorum Paris 1706 veröffentlicht. Er bemerkt dort [p. 4] über seinen Fund: *Diu est, quod egregium Athanasii opus, cui titulus, μείζων λόγος περὶ πίστεως, in tenebris latebat . . . a Theodoreto et Gelasio plerumque memoratum . . . hic sermo nec opinanti mihi, aliudque agenti, sese obtulit. siquidem cum Chrysostomi et Basilii codices in bibliotheca Laurentiana euoluerem, casu incidi in manuscriptum decimi saeculi, ubi inter alia uariorum scripta, hoc Athanasii opus aderat, sed proh dolor! multis in locis truncatum ac mutilum; ita tamen ut sententia semper apta sit, et adprime cohaereat.*

Stülcken [Athanasiana, Texte und Unters. N.F. 4 p. 28] vermutete als allenfalls möglich, daß Montfaucon den cod. plut. IV 23 der Laurentiana benutzt habe, setzte jedoch hinter seine zaghafte Vermutung obendrein ein Fragezeichen. Tatsächlich ist sie richtig, wie mir ein kurzer, aber sachkundiger Bericht bewies, den mir Pasquali auf meine Anfrage erstattete. Dieser Bericht enthielt zugleich so viel neues und unerwartetes, daß ich das ganze Stück [f. 98—124] photographieren ließ.

Die Handschrift ist in der bekannten Kalligraphenschrift des X. Jahrhunderts geschrieben, nur die Rubriken und Lemmata sind in Majuskeln. Im Ganzen ist die Orthographie korrekt; allerdings finden sich, besonders in den Konjunktivendungen, Vertauschungen von η und ει, ferner von ει und ι, η und ι, seltener von αι und ε, nur vereinzelt von οι und υ, dagegen öfter von ο und ω;

ι adscriptum fehlt immer. Akzente und Spiritus sind öfter weggelassen. Eine Seltsamkeit ist, daß Formen des Artikels zwar nicht durchweg, aber doch verhältnismäßig häufig [21. 22. 54. 57. 58. 60. 65. 71. 74] gesetzt sind, wo das Relativpronomen verlangt wird. Wie mich Heisenberg belehrt, kommt diese Vertauschung im Mittelgriechischen gelegentlich vor.

Nach Montfaucons Bericht sollte man erwarten, daß der Codex eine Miszellanhandschrift sei; tatsächlich enthält er nur echte und unechte Schriften des Athanasius, ist aber trotz seinem Alter ebenso wenig, wie der jüngere cod. plut. IV 20, von denen die über Athanasiushss. geschrieben haben[1]), beachtet, mit Ausnahme von G. Ludwig, der beide Hss. für seine Ausgabe des Briefes an Epiktet [Jena 1911] herangezogen hat. Der Laur. IV 23 gehört zu der Gruppe von Hss. [S] die den ersten Teil der im Cod. Parisin. 474 enthaltenen Sammlung bieten, weicht freilich von den beiden Vertretern dieser Gruppe, dem Coislin. 45 und dem Laur. IV 20 in der Ordnung und durch Einschaltungen ab. Indem ich für das Genauere auf Bandinis Catalog. codd. graec. bibl. Laurent. I 546 verweise, begnüge ich mich hier damit, den Inhalt kurz mit den Reihennummern des Coislin. 45 anzugeben; (die Titel dazu bieten, allerdings nur in der Fassung der Mauriner, Wallis Journ. of Theol. Studies 3, 101 und Stegmann, die pseudo-athanasianische IV. Rede gegen die Arianer p. 13): S 1. 2, das von mir veröffentlichte Stück, sermo in annuntiationem deiparae [PG 28, 917 ff.], 17. 8—16. 3—7.

Ich lege zunächst den Text selbst vor, mit stillschweigender Korrektur der orthographischen Fehler. Die Parallelstellen aus den drei Büchern des *Ἐρανιστής* Theodorets [Th] zitiere ich nach der, allerdings ungenügenden Ausgabe von Schulze, die Abweichungen nur wenn es unumgänglich nötig war, notierend. Von der Testimoniensammlung, die Pabst Gelasius seinem Traktat De duabus naturis angehängt hat, habe ich bislang eine Hs. nicht auffinden können, während für den Text selbst der Montepess. 308 [vgl. Acta Conc. t. IIII 2 p. XXXI] zur Verfügung steht; ihre einzige kritische Grundlage ist die Ausgabe in Sichards Anti-

[1]) Wallis, Journ. of Theolog. Studies 3, 97 ff. 245 ff. K. Lake ebenda 5, 108 ff. C. H. Turner ebenda 7, 600 ff. v. d. Goltz, Texte u. Unters. 29, 3 ff. Stegmann, Die pseudoathanasianische IV. Rede gegen die Arianer p. 9 ff.

dotum contra diuersas hereses Basel 1528 f. 234 ff. Da dies Buch selten und dem Traktat das Glück zu Teil geworden ist nicht in der cloaca maxima der PG um Druckfehler bereichert zu werden, zitiere ich den Nachdruck in Thiels Epistolae Romanorum pontificum p. 544 ff. Das in zwei Abschnitten zerlegte, aber eine Einheit bildende Florileg des Vat. 1431 führe ich nach Photographien der Hs. an; ich hoffe es demnächst herauszugeben.

Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ ὁμο- f. 98r
λογητοῦ ἐκ τοῦ περὶ πίστεως μείζονος λόγου

1 (2) *Τὸ ἐγειρόμενον ἐκ νεκρῶν ἄνθρωπος ἦν ἢ θεός; ἑρμηνεύει* PG 26, 1265
Πέτρος ὁ ἀπόστολος ἡμῶν μᾶλλον γινώσκων καὶ λέγει· καθε-
5 *λόντες αὐτὸν ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον,* Act. 13, 29
ὁ δὲ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. τὸ γοῦν ἀπὸ τοῦ
ξύλου καθαιρεθὲν σῶμα νεκρὸν τοῦ Ἰησοῦ καὶ εἰς μνημεῖον
τεθὲν ἐνταφιασθέν τε ὑπὸ Ἰωσὴφ τοῦ ⟨ἀπὸ⟩ Ἀριμαθείας, αὐτὸ
ἤγειρεν ὁ λόγος λέγων· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρι- Ioh. 2, 19
10 *σὶν ἡμέραις ἐγερῶ αὐτόν. ὁ καὶ πάντας τοὺς νεκροὺς* f. 98v
ζωοποιῶν καὶ τὸν ἐκ Μαρίας ἄνθρωπον Χριστὸν Ἰησοῦν ἐζωο-
ποίησεν, ὃν ἀνείληφεν: —

Kehrt unten [62] wieder; s. dort
8 *ἀπὸ* aus 62 ergänzt 10 *καὶ* L *γὰρ* m

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου

2 (3) *Ζωὴ ἀποθανεῖν οὐ δύναται, μᾶλλον δὲ τοὺς νεκροὺς ζωο-*
ποιεῖ. ἔστιν τοίνυν καὶ πηγὴ ζωῆς τῆι ἐκ πατρὸς θεότητι,
ἄνθρωπος δὲ ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθεὶς ἐκ νεκρῶν,
5 *ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, ὁ ἐκ παρθένου Μαρίας, ὃν ἡ τοῦ*
λόγου θεότης δι' ἡμᾶς ἀνείληφεν. τὸ γοῦν γεγράφθαι ἐν ἀρχῆι Ioh. 1, 1
ἦν ὁ λόγος φανερῶς τὴν θεότητα δηλοῖ, τὸ δὲ ὁ λόγος σὰρξ Ioh. 1, 14
ἐγένετο τὸ ἀνθρώπινον τοῦ κυρίου δείκνυσιν: —

2—8 = Th 3, 240 6 *τὸ γεγράφθαι*—8 = Th 1, 58 6 *γοῦν* fehlt Th 1, 58

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου

3 (4) *Ἡ θεότης γοῦν ἐστιν τοῦ Ἰησοῦ ἡ τιθεῖσα καὶ λαμβάνουσα*
τὴν ψυχὴν οὗ ἐφόρεσεν ἀνθρώπου. πλήρη γὰρ ἀνείληφε τὸν
ἄνθρωπον, ἵνα πλήρη αὐτὸν καὶ σὺν αὐτῶι τοὺς νεκροὺς ζωο-
5 *ποιήσηι:* —

= Niketas' Catene zu Lc. 24, 39 [Mai, Noua bibl. patr. 2, 582]
2 *οὗν* m (Th) *ιυ* L *υἱοῦ* m (Th) 4 *ἵνα καὶ* m (Th)

Καὶ πάλιν

4 (4) *Ὁ δὲ κυριακὸς ἄνθρωπος οὐκ ἀσθενήσας οὐδὲ ἄκων ἀπέθανεν, ἀλλ' ἀφ' ἑαυτοῦ ἧκεν ἐπὶ τὴν τοῦ θανάτου οἰκονομίαν, στερεοποιούμενος ὑπὸ τοῦ ἐν αὐτῶι ἐνοικήσαντος θεοῦ λόγου*
Ioh. 10, 18 *τοῦ εἰπόντος οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἀπ' ἐμαυτοῦ αὐτὴν τίθημι· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν: —* 5

Th 3, 240. 241, und ihm folgend Montfaucon, stellen 4 vor 3; am Anfang von 4 fügen Th und Niketas' Catene zu Lc. 24, 39 [Mai, Noua bibl. patr. 2, 582] den Satz hinzu *ἐγένετο Λάζαρον ἀσθενήσαντα ἀποθανεῖν*

2 *οὐκ — ἄκων* L Th *οὐκ ἄκων οὐδὲ ἀσθενήσας* m 3 *ἧκεν* aus *εἶκεν* korrigiert L *ἦλθεν* Th Nik m 7 *πάλιν* fehlt m

Ἐκ τοῦ αὐτοῦ λόγου

5 *Αὐτὸς γὰρ δυνατὸς ὢν καὶ δημουργὸς τῶν ὅλων ἐν τῆι παρθένωι κατασκευάζει αὐτῶι ναὸν τὸ σῶμα καὶ ἰδιοποιεῖται τοῦτο ὥσπερ ὄργανον, ἐν αὐτῶι γνωριζόμενος καὶ ἐνοικῶν: —*

Das Lemma ist falsch, die Stelle stammt aus de incarnat. uerbi 8 [PG 25, 109 c]

f. 99r *Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου*

6 (5) *Τούτου ἵνεκεν τὸ δυνάμενον ἀποθανεῖν ἑαυτῶι λαμβάνει σῶμα,*
PG 1268 *ἵνα τοῦτο τοῦ θεοῦ λόγου μεταλαβὸν ἀντὶ πάντων ἱκανὸν γένηται τῶι θανάτωι καὶ διὰ τὸν ἐνοικήσαντα λόγον ἄφθαρτον διαμείνηι: —* 5

Durch *τοῦ αὐτοῦ* überträgt sich der Fehler im Lemma 5 auf die folgenden Exzerpte, die ebenfalls aus de incarnatione uerbi genommen sind = de incarn. uerb. 9 p. 112a

Καὶ μετ' ὀλίγα

7 (6) *Ὑπὲρ πάντας γὰρ ὢν ὁ λόγος τοῦ θεοῦ εἰκότως τὸν ἑαυτοῦ ναὸν καὶ τὸ σωματικὸν ὄργανον προσαγαγὼν ἀντίψυχον ὑπὲρ πάντων, ἐπλήρου τὸ ὀφειλόμενον ἐν τῶι θανάτωι. καὶ ὡς συνὼν δὲ διὰ τοῦ ὁμοίου τοῖς πᾶσιν ὁ ἄφθαρτος τοῦ θεοῦ υἱὸς εἰκότως τοὺς πάντας ἐνέδυσεν ἀφθαρσίαν ἐν τῆι τῆς ἀναστάσεως ἐπαγγελίαι. καὶ αὐτὴ γὰρ ἡ ἐν τῶι θανάτωι φθορὰ κατὰ τῶν ἀνθρώπων οὐκέτι χώραν ἔχει διὰ τὸν ἐνοικήσαντα λόγον ἐν τούτοις διὰ τοῦ ἑνὸς σώματος. καὶ ὥσπερ μεγάλου βασιλέως εἰσελθόντος εἴς τινα πόλιν μεγάλην καὶ οἰκήσαντος εἰς μίαν τῶν ἐν αὐτῆι οἰκιῶν πάντως ἡ τοιαύτη πόλις πολλῆς τιμῆς ἀξιοῦται καὶ οὐκέτι τις ἐχθρὸς αὐτὴν ἢ ληιστὴς ἐπιβαίνων* 5 10

καταστρέφει, πάσης δὲ μᾶλλον ἐπιμελείας ἀξιοῦται διὰ τὸν εἰς μίαν αὐτῆς οἰκίαν οἰκήσαντα βασιλέα, οὕτω καὶ ἐπὶ τοῦ ἡμετέ-
15 *ρου σωτῆρος γέγονεν. ἐλθόντος γὰρ αὐτοῦ εἰς τὴν ἡμετέραν χώραν καὶ οἰκήσαντος εἰς ἓν τῶν ὁμοίων σωμάτων λοιπὸν πᾶσα κατὰ τῶν ἀνθρώπων ἐπιβουλὴ πέπαυται: —*

= de incarn. uerbi 9 p. 112a—112c, vgl. 82; das Lemma *μετ' ὀλίγα* paßt nicht 1—9 *σώματος* = Th 3, 241. 242
7 *γὰρ* om. m 8 *τὸν ἄνθρωπον* m 10/11 *εἰς μίαν* fehlt L 82
11/12 *τιμῆσ πολλῆσ* L 82 12 *καταξιοῦται* L 82 *τις* fehlt L 82
ἢ L *οὔτε* L 82 13/14 *τὸ—οἰκῆσαι τὸν* L 82 14/15 *ἡμετέρου* L
πάντων L 82 15 *εἰσ* L *ἐπὶ* L 82 16 *πᾶσα ἡ* L 82 17 *τὸν ἄνθρωπον* m

Καὶ πάλιν μετ' ὀλίγα

8 (7) *Οὐ γὰρ περικεκλεισμένος ἦν ἐν τῶι σώματι οὐδὲ ἐν σώ-* f. 99v
ματι μὲν ἦν, ἀλλαχόσε δὲ οὐκ ἦν, οὐδὲ ἐκεῖνο μὲν ἐκίνει, ἄλλα δὲ τῆς αὐτοῦ προνοίας ἐστερεῖτο, ἀλλά, τὸ παραδοξότατον, λόγος
5 *ὢν οὐ συνείχετο μὲν ὑπό τινος, συνεῖχε δὲ τὰ πάντα μᾶλλον αὐτός: —*

= de incarn. uerbi 17 p. 125a, vgl. 83
2 *σώματι* L *σώματι ὁ τοῦ θεοῦ λόγοσ* L 83 3 *ἀλλα* L *τὰ ὅλα* L 83
4 *αὐτοῦ* L *τούτου* L 83 *προνοίασ* L *ἐνεργείασ καὶ προνοίασ* L 83
ἐστερεῖτο L *κεκένωτο* L 83

Καὶ μετ' ὀλίγα

9 (7) *Τῆι δὲ τοῦ λόγου εἰς αὐτὸ ἐπιβάσει οὐκέτι κατὰ τὴν ἰδίαν φύσιν ἐφθείρετο τὸ σῶμα, ἀλλὰ διὰ τὸν ἐνοικοῦντα τοῦ θεοῦ λόγον ἐκτὸς ἐγίνετο φθορᾶς: —*

= de incarn. uerbi 20 p. 132b; = Th 3, 242, dies Exzerpt enthält mehr

Ἐκ τοῦ αὐτοῦ λόγου

10 (7) *Πάσχον μὲν γὰρ τὸ σῶμα κατὰ τὴν τῶν σωμάτων φύσιν ἔπασχεν, εἶχεν δὲ τῆς ἀφθαρσίας τὴν φύσιν ἐκ τοῦ συνοικήσαντος αὐτῶι λόγου: —*

Vgl. 86

Ἐκ τοῦ αὐτοῦ λόγου

11 (8) *Αὐτὸς ὁ τοῦ θεοῦ υἱὸς ἐν τριημέρωι διαστήματι νεκρὸν γενόμενον τὸ σῶμα ἔδειξεν ἀθάνατον καὶ ἄφθαρτον. καὶ ἐδείχθη πᾶσιν ὅτι οὐκ ἀσθενείαι φύσεως τοῦ ἐνοικοῦντος λό-*
5 *γου τέθνηκεν τὸ σῶμα, ἀλλ' ἐπὶ τῶι τὸν θάνατον ἐξαφανισθῆναι ἐν αὐτῶι τῆι δυνάμει τοῦ σωτῆρος: —*

= de incarn. uerbi 26 p. 141c

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ

12 (9) *Ποῖον ἔδει τέλος γενέσθαι τοῦ σώματος, ἐπιβάντος αὐτῶι τοῦ λόγου; μὴ ἀποθανεῖν μὲν γὰρ οὐκ ἠδύνατο ἅτε δὴ θνητὸν ὂν καὶ ὑπὲρ πάντων προσφερόμενον εἰς τὸν θάνατον, οὗ χάριν καὶ ὁ σωτὴρ κατεσκεύασεν αὐτό· μεῖναι δὲ νεκρὸν οὐχ* 5
f. 100r *οἷόν τε ἦν διὰ τὸ ζωῆς αὐτὸ ναὸν γενέσθαι. ὅθεν ἀπέθανεν μὲν ὡς θνητόν, ἀνέζησεν δὲ διὰ τὴν ἐν αὐτῶι ζωήν: —*

= de incarn. uerbi 31 p. 149 d
2 *αὐτῶι* m *αὐτὸ* L

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου

13 (10) *Τί ἄπιστον λέγεται παρ' ἡμῶν, εἰ πλανωμένης τῆς ἀνθρωπότητος καθίσας ὁ λόγος ἐπ' αὐτὴν ἄνθρωπος ἐπεφάνη, ἵνα χειμαζομένην αὐτὴν περισώσηι διὰ κυβερνήσεως καὶ ἀγαθότητος;* 5

= de incarn. uerbi 43 p. 173 a

Καὶ μετ' ὀλίγα

14 (11) *Ψυχῆς μὲν ἔργον ἐστὶν θεωρεῖν τὰ ἔσω τοῦ ἰδίου σώματος*
PG 1269 *τοῖς λογισμοῖς, οὐ μὴν καὶ τὰ ἔξωθεν τοῦ ἰδίου σώματος ἐνεργεῖν ἢ τὰ τούτου μακρὰν τῆι παρουσίαι κινεῖν. οὐδέποτε γοῦν ἄνθρωπος ⟨διανοούμενος τὰ⟩ μακράν, ἤδη ταῦτα κινεῖ καὶ μεταφέρει οὐδὲ εἰ ἐπὶ τῆς ἰδίας οἰκίας καθέζοιτό τις καὶ λογίζοιτο τὰ ἐν οὐρανῶι, ἤδη καὶ τὸν ἥλιον κινεῖ καὶ τὸν οὐρανὸν περιστρέφει, ἀλλ' ὁρᾶι μὲν κινούμενα καὶ γινόμενα, οὐ μὴν ὥστε καὶ ἐργάσασθαι, δυνατὸς τυγχάνει. οὐ δὴ τοιοῦτος ὁ τοῦ θεοῦ λόγος ἐν τῶι ἀνθρώπωι· οὐ γὰρ συνεδέδετο τῶι σώματι, ἀλλὰ μᾶλλον αὐτὸς ἐκράτει τοῦτο, ὥστε καὶ ἐν τούτωι ἦν καὶ ἐν τοῖς πᾶσιν ἐτύγχανεν καὶ ἔξωθεν τῶν ὅλων ἦν καὶ ἐν μόνωι τῶι πατρί: —* 5 10

= de incarn. uerbi 17 p. 125 b—125 c; auch hier paßt das Lemma *μετ' ὀλίγα* nicht
5 *διανοούμενος τὰ* aus de inc. ergänzt

Ἐκ τοῦ αὐτοῦ λόγου

15 (12) *Σκόπει, παρακαλῶ, εἰ μὴ τὴν χλεύην καθ' ἑαυτῶν κινοῦντες ἀγνοοῦσιν. τὸν κόσμον σῶμα μέγα φασὶν εἶναι οἱ τῶν Ἑλλήνων σοφοὶ καὶ ἀληθεύουσι λέγοντες. ὁρῶμεν γὰρ αὐτὸν καὶ τὸ τούτου μέρος ὅτι ταῖς αἰσθήσεσιν ὑποπίπτει. εἰ τοίνυν καὶ ἐν τῶι κόσμωι σώματι ὄντι ὁ τοῦ θεοῦ λόγος ἐστὶ καὶ ἐν* 5

ὅλοις καὶ ἐν τοῖς κατὰ μέρος αὐτοῦ πᾶσιν ἐπιβέβηκεν, τί θαυμαστὸν ἢ τί ἄτοπον, εἰ καὶ ἐν ἀνθρώπωι φαμὲν αὐτὸν ἐπιδεδημηκέναι;: — f. 100v

= de incarn. uerbi 41 p. 168 d – 169 a

Καὶ πάλιν

16 (12) *Εἰ δὲ καὶ γεννητῆς οὔσης τῆς κτίσεως οὐκ ἄτοπον ἐν αὐτῆι τὸν λόγον εἶναι, οὐκ ἄρα οὐδὲ ἐν ἀνθρώπωι αὐτὸν εἶναι ἄτοπον:* —

= de incarn. uerbi 42 p. 169 c

3 *αὐτὸν* L *αὐτὴν* m

Καὶ μετ' ὀλίγα

17 (12) *Οὐκοῦν ὅλως οὐκ ἀπρεπὲς τὸ ἐν ἀνθρώπωι εἶναι τὸν λόγον καὶ πάντα ὑπ' αὐτοῦ καὶ ἐν αὐτῶι φωτίζεσθαι καὶ κινεῖσθαι:* —

= de incarn. 42 p. 169 c

2 *τὸ* m *τῶ* L

Τοῦ αὐτοῦ

Περὶ τῆς τοῦ Χριστοῦ κατὰ σάρκα γεννήσεως

Ἐκ τῆς ἀπολογίας τῆς ὑπὲρ Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας

18 *Ὅτε γὰρ ἔλαβεν — αἱ τοιαῦται λέξεις:* —

= de sent. Dionys. 11 p. 496 b

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ πίστεως λόγου τοῦ μείζονος

19 (13) *Ἀπατηθέντα γὰρ τὸν Ἀδὰμ ὑπὸ τοῦ διαβόλου παραβῆναι τὴν τοῦ πλάσαντος αὐτὸν ἐντολὴν καὶ ὑπὸ κατάραν καὶ κατοχὴν θανάτου γενόμενον ὁρῶν ὁ τοῦ παντὸς κτίστης θεὸς λόγος ἐκ τῆς ἀπογόνου τοῦ Ἀδὰμ παρθένου Μαρίας πλάσας ἑαυτῶι τὸ χωρῆσαι δυνάμενον ἄχραντον σῶμα πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς καὶ τὰ πάθη τὰ ἀνθρώπεια *, ὑπὲρ παντὸς τοῦ κόσμου αὐτὸ ἑκουσίως παραδέδωκεν, ἵνα τόν ποτε βασιλεύοντα τοῦ θανάτου διάβολον θανατώσηι τῶι τοῦ ἰδίου σώματος θανάτωι:* —

Col. 2, 9 f. 101r Hebr. 2, 14

7 Lücke von mir angegeben, zu ergänzen etwa *ὑποδέχεσθαι* oder *ὑπομεῖναι*

Ἐκ τοῦ αὐτοῦ λόγου

Περὶ ἐνδύματος

20 (13) *Αἷμα δὲ οὐκ ἐκ πνεύματος τῆς τοῦ λόγου θεότητος ἐκπορεύεται, ἀλλ' ἐξ οὗ ἐφόρεσεν ἀνθρώπου:* —

Daß der Satz später [76] in einem größeren Zusammenhang wiederkehrt, erklärt sich daraus, daß die Stellensammlung, wie die freilich nur zum Teil erhaltenen Überschriften zeigen, sachlich geordnet war

Ἐκ τοῦ αὐτοῦ

Ioh. 15, 1. 14, 28 Prov. 8, 22 Ps. 21, 7

21 (14) *Τὸ ἐγώ εἰμι ἡ ἄμπελος καὶ ὁ πατήρ μου μείζων μού ἐστι καὶ τὸ ἔκτισέν με καὶ ἐγὼ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος καὶ ὅσα ἐν τοῖς εὐαγγελίοις καὶ ἐν τοῖς προφήταις εἶπεν ταπεινὰ περὶ αὐτοῦ εἰς τὸ ⟨ὃ⟩ ἐφόρεσε σῶμα δι' ἡμᾶς, εἴρηται:* —

5 ὃ von mir ergänzt

Ἐκ τοῦ αὐτοῦ

22 (14) *Οὔτε τὸ παθητὸν σῶμα ὃ ἐφόρεσεν διὰ τὴν τοῦ παντὸς σωτηρίαν, ἀνατίθεμεν τῶι πατρί. τὰ πάντα γὰρ ἐκτίσθη ὑπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, ὁ δὲ υἱὸς μόνος ὑπὸ τοῦ πατρὸς*

Col. 1, 15

ἐγεννήθη. δι' ὃ πρωτότοκός ἐστι πάσης κτίσεως ὁ θεὸς λόγος· ἄτρεπτος γὰρ ἐξ ἀτρέπτου. ἔστι τοίνυν τὸ ⟨ὃ⟩ δι' ἡμᾶς ἐφόρεσεν σῶμα κτίσμα[ἐστίν]: —

Das Exzerpt kehrt, an zwei verschiedenen Stellen, in der sogen. expositio fidei [PG 25, 204a. 205a] wieder; da aber beide Schriften, wie allgemein anerkannt, von demselben Verfasser herrühren, liegt kein zwingender Grund vor, das Exzerpt dem Sermo maior abzusprechen

6 ὃ aus der exp. fid. ergänzt 7 *σῶμα* L *τὸ σῶμα* m *ἐστίν* nach der exp. fid. gestrichen

Ἐκ τοῦ αὐτοῦ λόγου

23 (15) *Τὸν γὰρ Ἀδὰμ ἐνδυσάμενος σὺν τοῖς παθήμασι κατὰ πάντα χωρὶς ἁμαρτίας, τὸν κεκλημένον Ἰησοῦν, ἵνα δι' αὐτοῦ τὸ ἀπολόμενον πρόβατον προσάξηι τῶι πατρί, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραν-τος αὐτὸν ἄφωνος, περὶ οὗ Παῦλος γράφει· ἄνθρωπος Χριστὸς Ἰησοῦς ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν. καὶ ἐν ἑτέρωι τόπωι φησίν· δι' ἀνθρώπου ὁ θάνατος καὶ δι' ἀνθρώπου ἡ ζωή. ὥσπερ γὰρ ἐν τῶι Ἀδὰμ πάντες ἀποθνήισκουσιν, οὕτως καὶ ἐν τῶι Χριστῶι πάντες ζωοποιηθήσονται:* —

Mt. 1, 21 PG 1272 Ies. 53, 7 1 Tim. 2, 5. 6 1 Cor. 15, 22 f. 101v

Das Exzerpt kehrt mit einigen Varianten, aber mit derselben freien Umschreibung von 1 Cor. 15, 21, unten [61] wieder; vgl. zu 20

5/6 *κίραντος* in *κίροντοσ* korr. L

Ἐκ τοῦ αὐτοῦ λόγου

24 (16) *Δι' αὐτοῦ γὰρ τοῦ λόγου πάντα ἐγένετο καὶ ἐκτίσθη, οὐκ αὐτὸς δὲ ἐγένετο, ἀλλ' ὅνπερ δι' ἡμᾶς ἐφόρεσεν ἄνθρωπον γεγονότα καὶ κτισθέντα, δηλοῦσιν αἱ γραφαί:* — Ioh. 1, 1

Auch dies Exzerpt kehrt wieder [63], vgl. zu 20
2 *γὰρ* fehlt m

Ἐκ τοῦ αὐτοῦ λόγου

25 (17) *Φησὶν γὰρ ὁ κύριος· πᾶν κλῆμα μένον ἐν ἐμοὶ καρπὸν φέρει. καὶ ἐν ᾧι ἐφόρεσεν ἀνθρώπωι τῶι ἐκ τοῦ γηγενοῦς Ἀδάμ, ἐζωοποίησεν τὸ ἐκ τοῦ γένους Ἀδάμ:* — Ioh. 15, 5

Ebenso unten [64], vgl. zu 20
3 *ᾧι*]*τῶ* L *γηγενοῦσ* L unten *γένουσ* L hier

Ἐκ τοῦ αὐτοῦ λόγου

26 (17) *Ὅρα ὅτι ἕως τοῦ νῦν οὐδεὶς εἶδεν τὸν υἱὸν τοῦ θεοῦ ὡς ἔστι, ἄχρι τοῦ φανερῶσαι ἑαυτὸν ἡμῖν· ὃν δὲ ἐφόρεσεν δι' ἡμᾶς υἱὸν τοῦ ἀνθρώπου, εἴδομεν, ὃν εἶπεν ὁ Παῦλος· κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν, ὃν καὶ Στέφανος λέγει· θεωρῶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ. οὐκ εἶπεν τὸν λόγον ἢ τὴν σοφίαν τοῦ πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ Μαρίας κυριακὸν σῶμα:* — Hebr. 3, 1. 2 Act. 7, 56

Kehrt unten [32. 38. 65] wieder, vgl. zu 20
2 *οἶδεν* m 3 *ὃν*] *τὸν* L

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου

Περὶ τοῦ ὁ δὲ Ἰησοῦς προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι Lc. 2, 52

27 (18) *Λέγεται δὲ ὁ κατὰ τὸν σωτῆρα νοούμενος ἄνθρωπος ὁ αὐτὸς ποτὲ νήπιος ὢν καὶ ποτὲ προκόπτων ἡλικίαι καὶ σοφίαι καὶ χάριτι ἀρχόμενός τε ὢν ὡσεὶ ἐτῶν τριάκοντα, ὡς ὁ εὐαγγελιστὴς Λουκᾶς φησι. τὸ δὲ προκοπὴν καὶ ἡλικίαν ἐπιδεχόμενον σῶμα, αὐτό ἐστιν κτίσμα καὶ ποίημα:* — Lc. 1, 16 Lc. 2, 52 Lc. 3, 23 f. 102r

Kehrt unten wieder [55], vgl. zu 20

Ἐκ τοῦ αὐτοῦ λόγου

28 (18) *Ἰησοῦς δὲ ὁ Χριστὸς ὁ κατὰ τὸν σωτῆρα νοούμενος ἄνθρωπος αὐτός ἐστιν ὁ προκοπὴν ἡλικίας ἐπιδεχόμενος, ποτὲ νήπιος τυγχάνων, ποτὲ ἀνὴρ ἀρχόμενός τε ὡσεὶ ἐτῶν τριάκοντα, ὥς φησιν ὁ Λουκᾶς:* — Lc. 3, 23

4 ἀρχόμενός m ἐρχόμενόσ L

Das Exzerpt ist zurechtgeschnitten um unter die Rubrik zu passen; in besserer Form, die den Zusammenhang zeigt, steht es bei Facundus **11, 2**:

Hebr. 13, 8 *Iesus Christus heri et hodie ipse et in saecula. heri quidem ante saecula sempiternitatem significat, hodie autem terrenum saeculum, in saecula uero post transitum huius uitae. Iesus Christus autem qui iuxta hominem saluatoris intellegitur, non est ipse. qui enim prouectum aetatis suscepit, aliquando infans existens et aliquando uir incipiens quasi annorum XXX, sicut ait Lucas, non potest ipse esse*

Facundus bemerkt, daß das Exzerpt genommen sei *ex epistula quam ad Antiochenos beatae memoriae episcopus scribit.* Daß dies ein zweiter Titel des *λόγος μείζων περὶ πίστεως* ist, hat Stülcken [Athanasiana 29 f.] bewiesen und wird durch ein Exzerpt aus dem Florileg des Vat. 1431 noch weiter bewiesen werden [vgl. unten 78]. Facundus hielt es für gut die Echtheit des Briefes durch ein Zeugnis des alexandrinischen Bischofs Petrus, des Nachfolgers des Athanasius zu bekräftigen; dies Zeugnis deckte aber nicht den von Facundus zitierten Brief, sondern den tatsächlich echten tomus ad Antiochenos, vgl. Stülcken a. a. O.

Ἐκ τοῦ αὐτοῦ

29 (18) *Ὁ τοίνυν μεθηλικιούμενος ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὃς*
Hebr. 3, 1. 2 *ἐγένετο πιστὸς ἀπόστολος καὶ ἀρχιερεὺς τῶι ποιήσαντι αὐτόν, αὐτός ἐστιν ὁ τὴν προκοπὴν ὑπομένων: —*

Τοῦ αὐτοῦ

Περὶ τοῦ βαπτίσματος τοῦ δεσπότου Χριστοῦ

30 *Ἐκ τοῦ πρὸς Ἀρειανοὺς λόγου*

Καὶ μή τις νομίσηι — — εἰς τὴν ἀνθρωπότητα αὐτοῦ: —

= de incarn. et c. Arian. 9 [PG 26 p. 997 c]

Τοῦ αὐτοῦ

Περὶ τῶν πρὸς τὸν διάβολον ἀγώνων τοῦ δεσπότου Χριστοῦ

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν διαμερισμὸν τῶν ἱματίων

31 *Οὕτω καὶ ὁ κύριος ἀνθρωπίνηι ἀσθενείαι — — κατὰ τοῦ ἐχθροῦ: —* 5

= in pass. et cruc. dom. 14 [PG 28 p. 212 a]

Τοῦ αὐτοῦ

Περὶ τοῦ δοξασθῆναι τὸν δεσπότην Χριστόν

Ἐκ τοῦ περὶ πίστεως λόγου

Act. 7, 56 **32** (19) *Στέφανος λέγει· θεωρῶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ*

δεξιῶν ἑστῶτα τῆς δυνάμεως τοῦ θεοῦ. οὐκ εἶπεν τὸν λόγον ἢ τὴν σοφίαν τοῦ πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ Μαρίας κυριακὸν σῶμα, ὅπερ ὁ Παῦλος λέγει καθίσαι ἐκ δεξιῶν τοῦ θεοῦ. περὶ οὗ σώματος Δαυίδ φησιν προφητικῶς ἐκ προσώπου τοῦ πατρός· κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, ἐπεὶ προεγίνωσκεν ἐχθροὺς ἐσομένους τὸν διάβολον καὶ τὰς συνεργοὺς αὐτοῦ ἀντικειμένας ἐνεργείας, αἵτινες ἤχθρευον τῶι κυριακῶι ἀνθρώπωι, γινώσκουσαι διὰ τοῦ θανάτου αὐτοῦ καταργουμένας αὐτὰς καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τὸν διάβολον: — f. 102v Col. 3, 1 Ps. 109, 1 Hebr. 2, 13

Der Anfang [4—7] auch 26, das Ganze unten [65]. Hier ist deutlich zu sehen, wie die Wiederholungen durch die Rubriken verursacht sind.

Ἐκ τοῦ αὐτοῦ λόγου

33 (19) *Οἱ γὰρ τὴν θεότητα τοῦ λόγου ἐλαττοῦντες ὡς μὴ δυναμένου τοῦ κυρίου δι' ἑαυτοῦ τοὺς ἐχθροὺς ἀμύνασθαι οἴονται εἰρηκέναι τὸν πατέρα τῶι υἱῶι κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. τοῦτο οὖν γινωσκέτωσαν οἱ ἀπαίδευτοι εἰς τὸν κατὰ σάρκα νοούμενον ἄνθρωπον γεγράφθαι. ἐν γὰρ τῶι αὐτῶι Δαυὶδ περὶ τοῦ κυριακοῦ ἀνθρώπου γέγραπται· ἐχθρὸς οὐκ ὠφελήσει ἐν σοί: —* Ps. 109, 1 PG 1273 Ps. 88, 23

Kehrt unten [65] wieder
3 *οἴονται* L *οἷον τῶ* L hier

Ἐκ τοῦ αὐτοῦ λόγου

34 (19) *Τὸ σῶμα τοίνυν ἐστὶν ὧι λέγει κάθου ἐκ δεξιῶν μου, οὗ καὶ γέγονεν ἐχθρὸς ὁ διάβολος σὺν ταῖς πονηραῖς δυνάμεσιν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες: —*

Kehrt unten [66] wieder
2 *ὧ* L 66 *ὁ* L hier

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Ἀρειανοὺς λόγου

35 *Καὶ ὅταν λέγηι ὁ Πέτρος — περὶ τῆς ἀνθρωπότητος: —*
= de incarn. et c. Arian. 21 [PG 26 p. 1021 a]

Καὶ μετ' ὀλίγα

36 *Ὁ γὰρ λόγος — — κύριον καὶ θεόν: —*
= de incarn. et c. Arian. 21 p. 1021 b

Ἐκ τοῦ αὐτοῦ λόγου

37 *Ἐκ γὰρ τῶν παλαιῶν πεπαιδευμένος ὁ ἀπόστολος νομομαθής τε ὢν τάς τε παροιμίας τοῦ Σολομῶντος ἀκριβῶς φιλολογήσας* * *

Das Lemma ist nicht richtig; wie aus 54 hervorgeht, ist das Exzerpt, wie die folgenden auch, aus dem *λόγος μείζων περὶ πίστεως* entnommen. Montfaucon hat, durch das Lemma verführt, die ganze Reihe bis 53 weggelassen. Wie das fehlende Schlußzeichen und ein *ζ(ή)τ(ει)* am Rand angeben, fand der Schreiber das Exzerpt schon unvollständig vor

Τοῦ αὐτοῦ

38 *Ὁρᾶτε ὅτι ἕως τοῦ νῦν οὐδεὶς εἶδεν τὸν υἱὸν τοῦ θεοῦ ὡς ἔστιν, ἄχρι τοῦ φανερῶσαι ἑαυτὸν ἡμῖν· ὃν δὲ ἐφόρεσεν δι' ἡμᾶς υἱὸν τοῦ ἀνθρώπου, εἴδομεν, ὃν εἶπεν ὁ Παῦλος· κατα-*
Hebr. 3, 1. 2 *νοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας* 5 *ἡμῶν Ἰησοῦν Χριστὸν πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν:* —

= 26, 1—6 und 65

2 *ὁρᾶτε* L hier *ὅρα* L 26. 65 *οἶδεν* L 3 *αὐτὸν* L *τὸν* L 6 *χν* fehlt L 26. 65

Καὶ μετ' ὀλίγα

39 *Ὁ πολλαχοῦ εἶπον, καὶ νῦν ἐρῶ· Ἰησοῦν τὸν ἄνθρωπον τοῦ*
Hebr. 3, 2 *σωτῆρος τὸν πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν, ὃν εἶπεν ἡμῖν κατανοεῖν:* —

Kehrt unten [67] wieder

Καὶ μετ' ὀλίγα

40 *Οὐ διαιροῦσιν οἱ ἀμαθεῖς ποῖον πρόσωπον τοῦ προφητικοῦ πνεύματος περὶ τοῦ σώματος τοῦ κυρίου βοᾶι καὶ ποῖον τὴν ἀίδιον αὐτοῦ ἐκ πατρὸς γέννησιν διδάσκει, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δηλοῦσιν τὸν ἀπαθῆ λόγον καὶ τὸν παθητὸν ἄνθρωπον τοῦ* 5 *Ἰησοῦ:* —

Vollständiger bei Facundus 11, 2: *denuo in eadem epistula* (vgl. zu 28): *est, inquit, spiritus uitae sanctus cum patre et filio in singulis prophetarum per generationes transiens, qui indicat quae erunt et quae fuerunt, habens oculos ante et post, hoc est, sicut diximus, scientiam futurorum atque praeteritorum, quae in Salomone narrat ex persona filii hominis ex Maria et filii dei uerbi, quod ab initio erat apud patrem, et duas personas significans, de homine quidem ex Maria creato et plasmato, de illo uero qui ante saecula est sine principio et aeternae natiuitatis. quoniam ergo uerborum seductores et non eruditi spiritu obseruantes errare faciant indoctos, dicen-*

tes: 'a quadringentis annis est operatio corporis domini, et quomodo in eum quidam referunt quod dictum est dominus creauit me *principium uiarum suarum in opera eius, cum dicat scriptura ante montes et colles, ante fontes et ante saeculum generatum et creatum'? haec dicentes a quibusdam laudari putantur non diuidentes quae persona prophetico spiritu de corpore domini clamat et quae de aeterna eius a patre generatione docet* Prou. 8, 22-25

Τοῦ αὐτοῦ

41 *Ὅταν τοίνυν πᾶσα ἡ κτίσις ἐν νεφέλαις ἀπαντήσηι τῶι Ἰησοῦ καὶ ὑποταγῆι αὐτῶι, τότε αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῶι πατρί, ὑπὲρ πάσης τῆς κτίσεως [ὁ] γενόμενος πιστὸς ἀπόστολος καὶ ἀρχιερεύς, ἵνα ἦι ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν, τουτέστιν πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, ἡ μία κυριότης καὶ θεότης καὶ βασιλεία. ἐὰν δέ τις λέγηι ὅτι οὐ τὸν Ἰησοῦν εἶπεν ὑποτασσόμενον, ἀλλὰ τὸν υἱόν, ἀκουσάτω ὅτι Ἰησοῦς υἱὸς τοῦ θεοῦ ἐχρημάτισεν καὶ ἔστιν διὰ τὸν ἐν αὐτῶι κρυβέντα θεὸν λόγον: —* 1 Cor. 15, 28 f. 103v Hebr. 3, 1. 2

Kehrt unten [70] wieder

4 ὁ L fehlt L 70

Ἐκ τοῦ αὐτοῦ λόγου

42 *Φανερῶς ὁ γενόμενος ἐκ σπέρματος Δαυὶδ Ἰησοῦς ὡρίσθη υἱὸς θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, ὅντινα ὁ Παῦλος υἱὸν εἶπεν μέλλοντα ὑποτάσσεσθαι τῶι θεῶι: —* Rom. 1, 3. 4 1 Cor. 15, 28

Das Exzerpt ist bisher unbekannt

Ἐκ τοῦ αὐτοῦ λόγου

43 *Αὐτὸς γοῦν ὁ υἱὸς ὑποταγήσεται τῶι πατρί. ὑπὲρ πάσης τῆς κτίσεως καθάπερ καὶ ὑπὲρ πάντων παθεῖν ἑαυτὸν παρέδωκεν ὁ ἐξ ἀχράντου παρθένου δι' ἡμᾶς γεννηθείς, ὁ μὴ γινώσκων τὴν ἡμέραν τῆς κρίσεως: —* 1 Cor. 15, 28 Mc. 13, 32

Auch dies Exzerpt ist bisher unbekannt

Ἐκ τοῦ αὐτοῦ λόγου

44 *Εἰ γὰρ καὶ μὴ εἶπεν ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου, ἀλλ' ἁπλῶς ὁ υἱός, δείκνυται μὴ τὸν θεὸν λόγον δηλῶν ἀγνοοῦντα, ἀλλὰ τὸν ἄνθρωπον: —* Mc. 13, 32

Ebenfalls bisher unbekannt

Ἐκ τοῦ αὐτοῦ λόγου

45 *Ὁ γοῦν μὴ γινώσκων τὴν ἡμέραν τῆς κρίσεως ὁ ἐκ Μαρίας γεννηθείς ἐστιν υἱός. οὐδὲν γὰρ ἀγνοεῖ ὁ ἐκ καρδίας τοῦ πατρὸς θεὸς λόγος ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν: —* Mc. 13, 32

Kehrt unten [72] wieder

Καὶ μετ' ὀλίγα

46 *Συγκατέβαινεν γὰρ ἡ ἀλήθεια τῶι ὑπὲρ ἡμῶν ἀποθανόντι*
f. 104r *Ἰησοῦ εἰς τὴν καρδίαν τῆς γῆς, ἵνα τοὺς ὑπὸ τοῦ ψεύδους ἀπα-*
τηθέντας ἀλήθεια ὢν ἐλευθερώσηι: —

Kehrt unten [74] wieder

Ἐκ τοῦ αὐτοῦ λόγου

47 *Εἰ δὲ Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς εἶπεν εἶναί τινα ἄρρητα*
2 Cor. 12, 4 *ῥήματα, ἃ οὔτε αὐτὸν οὔτε ἕτερον ἐξεῖναι λαλῆσαι, ἀναμφιβόλως*
ὁ τὰ ἄρρητα αὐτῶι δηλώσας ῥήματα θεὸς λόγος ἐν Χριστῶι
Ἰησοῦ ἄρρητον ἔχει τὴν ἐκ πατρὸς γέννησιν: — 5

Bisher unbekannt

Καὶ μετ' ὀλίγα: ἐκ τοῦ περὶ πίστεως μικροῦ λόγου
Τοῦ αὐτοῦ

48 *Ὃς ἐπὶ συντελείαι τῶν αἰώνων κατελθὼν ἐκ τῶν κόλπων τοῦ*
πατρός, ἐκ τῆς ἀχράντου παρθένου Μαρίας τὸν ἡμέτερον ἀνεί-
ληφεν ἄνθρωπον Ἰησοῦν Χριστόν, ὃν ὑπὲρ ἡμῶν παρέδωκεν 5
παθεῖν ἰδίαι προαιρέσει: —

= expos. fid. 1 [PG 25, 201 b]. Dasselbe Zitat steht bei Fac. 11, 2, eingeführt mit den Worten: *idem beatus Athanasius in expositione symboli.* Der hier angeführte, bisher unbekannte Titel erklärt zugleich, warum der andere *λόγος περὶ πίστεως* der 'größere' genannt ist. Wenn die Überschrift richtig überliefert ist [vgl. 57], darf man vermuten, daß die 'kleine' Rede in die 'größere' eingelegt war

Ἐκ τοῦ αὐτοῦ λόγου

Ier. 38, 22 (31, 21) **49** *Ἡ δὲ κτισθεῖσα [ἐν] ἡμῖν εἰς καταφύτευμα σωτηρία καινὴ καὶ*
οὐ παλαιὰ ἡμῖν τε καὶ οὐ πρὸ ἡμῶν Ἰησοῦς ἐστιν ὁ κατὰ τὸν
σωτῆρα νοούμενος ἄνθρωπος: —

= expos. fid. 3 p. 205 a; dasselbe Zitat bei Fac. 11, 2

2 *ἐν* L fehlt exp. Fac. 3 *νοούμενοσ* L *γενόμενος* exp. Fac.

Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἐκ τῆς πρὸς
Μάξιμον τὸν φιλόσοφον ἐπιστολῆς

f. 104v **50** *Ἃ γὰρ διὰ τοῦ σώματος — — πρόφασιν εὕρηι: —*

= ep. ad Max. 3 [PG 26, 1089 a]; von *πυνθάνεται* an = 91

Τοῦ αὐτοῦ ἐκ τῆς ὑπὲρ Διονυσίου ἀπολογίας

51 *Τὰ δὲ περὶ τῆς θεότητος — — παρ' αὐτοῦ τοῦ λόγου: —*

= de sent. Dion. 9 [PG 25, 493 a—493 b], vollständiger im Floril. Vat. 1431 f. 312

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς

52 *Εἴρηκεν ὁ σωτήρ — — τὴν ἄμπελον, ἥτις ἐστὶν τὸ κυριακὸν σῶμα: —* f. 105r

= de sent. Dion. 10 p. 496 a — 496 b. Dasselbe Exzerpt Th 1, 58, wo auch *τὸ κυριακὸν σῶμα* steht statt der Lesart des Vulgattextes *τὸ ἀνθρώπινον τοῦ σωτῆρος*

Ἐκ τῆς αὐτῆς ἀπολογίας

53 *Ἀνάγκη γὰρ ἀμπέλου — — ἔστιν τοῦ θεοῦ: —*

= de sent. Dion. 26 p. 520 a

Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ περὶ πίστεως μείζονος λόγου

54 (20) *Πάντα εἰπὼν ἐν αὐτῶι κτισθέντα ὁ μακάριος Παῦλος αὐτὸν μόνον εἶπεν πρὸ πάντων. ἐκ γὰρ τῶν παλαιῶν πεπαιδευμένος νομομαθής ⟨τε⟩ ὢν τάς τε παροιμίας τοῦ Σολομῶντος φιλολογήσας καὶ δύο εἴδη περὶ τοῦ κυρίου εὑρών, ἓν μὲν περὶ οὗ ἐκ Μαρίας ἔμελλεν ἀναλαμβάνειν ἀνθρώπου, ἕτερον δὲ περὶ τοῦ πρὸ πάντων αἰώνων ἀιδίως ἐκ τοῦ πατρὸς γεννηθέντος λόγου, [καὶ] περὶ μὲν τοῦ ἐκ Μαρίας Ἰησοῦ γράφει Τιμοθέωι· μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα· περὶ δὲ τοῦ ἀεὶ σὺν τῶι πατρὶ θεοῦ λόγου εἶπεν ὅτι ἔστιν πρὸ πάντων. ἐλεγχέσθωσαν τοίνυν παρὰ πάντων τῶν ἁγίων οἱ λέγοντες τὸν τοῦ θεοῦ λόγον ἀρχὴν τῶν ἔργων κτισθέντα καὶ παρὰ μὲν τοῦ Δαυὶδ ἀκουέτωσαν ὅτι οὐκ ἐστιν ἔργον, ἀλλ' ἔργων ποιητής, ὡς λέγει· ἔργα χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις: —* Col. 1, 16. 17 f. 105v 2 Tim. 2, 8 Col. 1, 17 Prou. 8, 22 Ps. 101, 26. 27

4—6 = 37; 4—12 = Fac. 11, 2 mit der Einführung *sanctus Athanasius . . . in epistula ad Antiochenos*

5 *τε* aus L 37 Fac. ergänzt 7 *οὗ* Fac. *τοῦ* L 8 *γεννηθέντα* L 9 *καὶ* L Fac., von mir gestrichen 11 *κατὰ σάρκα* L *secundum euangelium meum* Fac. 14 *μὲν* L fehlt m

Ἐκ τοῦ αὐτοῦ λόγου

55 (21) *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. λέγεται ⟨δὲ⟩ ὁ κατὰ τὸν σωτῆρα νοούμενος ἄνθρωπος ὁ αὐτὸς ποτὲ νήπιος ὢν καὶ ποτὲ προκόπτων ἡλικίαι καὶ ⟨σοφίαι καὶ⟩ χάριτι ἀρχόμενός ⟨τε ὢν⟩ ὡσεὶ ἐτῶν τριάκοντα, ὡς ὁ εὐαγγελιστὴς Λουκᾶς φησιν. τὸ δὲ* Hebr. 13, 8

προκοπὴν καὶ ἡλικίαν ἐπιδεχόμενον σῶμα, αὐτὸ ἐστιν τὸ κτίσμα καὶ ποίημα: —

3 *λέγεται*—8 = 27

3 *δὲ* L 27 fehlt L hier 5 *σοφίαι καὶ* ergänzt nach L 27 *τε ὢν* ergänzt nach L 27 6 *ὥσ φησιν ὁ λουκᾶσ* L 27 7 *αὐτό* L 27 *αὐτὸσ* L hier

Ἐκ τοῦ αὐτοῦ λόγου

56 (21) *Ἐλεγχόμενοι τοίνυν παρὰ τῶν ἁγίων οἱ λέγοντες κτίσμα τὸν ἐκ πατρὸς λόγον ἢ πεπαύσθωσαν τῆς δυσσεβοῦς βλασφημίας ἢ ὡς Χριστομάχοι παρὰ πάντων ἀποκηρυττέσθωσαν. ἐν ὧι*
f. 106r *γὰρ [ἡττῶνται] πεποίθασιν, ἐν ταῖς Παροιμίαις τῶι λέγοντι* 5
Prou. 8, 22 *κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, ὀλισθάνουσιν. προφητεύων γὰρ Σαλομὼν εἰς τὸν μέλλοντα διὰ τὴν παντὸς τοῦ κόσμου εὐεργεσίαν ἐκ Μαρίας κτίζεσθαι κυριακὸν ἄνθρωπον, εἶπεν ἐκ προσώπου αὐτοῦ τὸ κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ:* — 10

4 *ὡς* fehlt m 6 *ἡττῶνται* von mir gestrichen 8 *ολισθάνουσιν* L *ἀλλ' ὀλισθαίνουσιν* m

Καὶ μετ' ὀλίγα ἐκ τοῦ αὐτοῦ λόγου

Act. 2, 36 57 (22) *Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. αὐτὸν γοῦν τὸν σταυρωθέντα τοῦ κυρίου ἄνθρωπον δεικνύντες διὰ δακτύλου οἱ* 5 *ἀπόστολοι εἶπαν· τοῦτον τὸν Ἰησοῦν Χριστὸν καὶ κύριον ἐποίησεν ὁ θεός. αὐτὸς φανερῶς ὁ τοῦ κυρίου ἄνθρωπος καὶ ἀρχὴ*
Prou. 8, 22 *ὁδῶν ἐκτίσθη τῶν προγεγραμμένων εἰς εὐεργεσίαν, ἄρχων πάντων τῶν ἁγίων καὶ χρηματιζόντων ὁδῶν καὶ κύριος Ἰησοῦς*
PG 1276 *Χριστὸς ὁ ποιηθεὶς καὶ σταυρωθείς, περὶ οὗ καὶ Ἱερεμίας εἶπεν* 10
Ies. 38, 22 (31, 21) *κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνευτῶν ἔκδοσιν· κύριος ἔκτισέν με σωτηρίαν εἰς καταφύτευμα καινήν, ἐν ἧι σωτηρίαι περιελεύσονται ἄνθρωποι, κατὰ δὲ τὸν Ἀκύλαν περὶ τοῦ αὐτοῦ ῥητοῦ λέγει· ἔκτισεν κύριος καινὸν ἐν τῆι θηλείαι. ἣν δὲ λέγει σωτηρίαν καινὴν καὶ οὐ παλαιὰν ἡμῖν* 15 *κτισθεῖσαν καὶ οὐ πρὸ ἡμῶν καὶ ὃν λέγει καινὸν κτισθέντα ἐν τῆι θηλείαι, τὸν κατὰ τὸν σωτῆρα νόει ἄνθρωπον Ἰησοῦν. ἑρ-*
f 106v *μηνεύεται γὰρ Ἰησοῦς πῆι μὲν σωτήρ, πῆι δὲ σωτηρία (ἐκ τοῦ σωτῆρος ἡ σωτηρία ὃν τρόπον ἐκ τοῦ φωτὸς ὁ φωτισμός), ὅντινα εἶπεν ἄνθρωπον Ἰησοῦν σωτηρίαν ἡμῖν κτισθέντα καινὸν* 20

ἐν τῆι θηλείαι, ὅ ἐστιν ἐν τῆι Μαρίαι, μᾶλλον δὲ ἐκ τῆς Μαρίας: —

2—10 *σταυρωθείς* = Gel 546 [*eiusdem contra eosdem* scil. Arianos]
15 *ἣν*]*την* L 17 *νόει* m *νοεῖν* L

Καὶ μετ' ὀλίγα

58 (22) *Ὃν τοίνυν ὁ Σολομὼν εἶπεν ἀρχὴν ὁδῶν κτισθέντα καὶ* Prou. 8, 22
ἣν Ἱερεμίας λέγει κτισθεῖσαν σωτηρίαν καινὴν καὶ καινὸν ἐν Ier. 38, 22 (31, 21)
τῆι θηλείαι, τὸν ⟨ὃν⟩ ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἡ σοφία ὠικοδό-
5 *μησεν ἑαυτῆι οἶκον Χριστὸν Ἰησοῦν, ἐκ τῶν γραφῶν δείξαντες* Prou. 9, 1
τῶν ἑξῆς ἐχώμεθα, ἐφ' οἷς ἢ ἀγνοήσαντες τινὲς ἢ προληφθέντες
ἐν πλάνηι διαμεμενηκότες οὔτε διδάσκειν ὀρθῶς οὔτε διδά-
σκεσθαι βούλονται: —

4 *ὃν* von mir zugefügt 6 *ἐχόμεθα* L

Ἐκ τοῦ αὐτοῦ λόγου

59 (23) *Εἰ πάντες χωρεῖν ἠδύναντο πνευματικῶς τὰ θεῖα λόγια,*
οὐκ ἂν ἠναίνετο μεταδιδόναι αὐτοῖς τὸ πνευματικὸν χάρισμα, 1 Cor. 3, 1. 2
οὐδὲ γάλα αὐτοὺς ἐπότιζεν, εἰ τὴν στερεὰν τροφὴν πάντες μετα-
5 *λαμβάνειν ἠδύναντο. ἀλλὰ τοῖς ἔτι νηπιάζουσιν περὶ αὐτὸν* Hebr. 5, 12
τὸν τῆς θεογνωσίας λόγον δίκην νηπίων γαλουχουμένων τὸν τῆς
κατηχήσεως ἐπιτρέπει δέχεσθαι λόγον οὔπω τὸν τῶν ἀγγέλων
ἄρτον τρέφεσθαι δυναμένοις, τὸν ἐν σώματι ἀνθρωπείωι κρυ-
βέντα θεὸν λόγον: —

3 *οὐκ ἂν ιμίρετο* L *οὐχ ἱμείρετο* m 4 *αὐτοὺς* m *αὐτοῖσ* L 8 *τρέφεσθαι* verdorben

Ἐκ τοῦ αὐτοῦ λόγου

60 (24) *Χρὴ τοίνυν ἡμᾶς ὡς ἐπιστήμονας οἰκονόμους μυστηρίων* f. 107r
θείων μεταδιδόναι τὸν λόγον πρὸς ὃ χωρεῖν ἕκαστος δύναται. 1 Cor. 4, 1
ῥήγνυνται γὰρ οἱ παλαιοὶ ἀσκοὶ μὴ χωροῦντες τὸν νέον τῆς Mt. 9, 17
5 *ἀληθινῆς ἀμπέλου οἶνον, τουτέστιν τὸν λόγον τοῦ κυρίου ἡμῶν* Ioh. 15, 1
Ἰησοῦ Χριστοῦ. ἐπεὶ τοίνυν τινές, μᾶλλον δὲ καὶ πολλοὶ οἱ
μήπω μαθηταὶ γενόμενοι ἐκ προπετείας ἐπὶ τὸ διδάσκειν ἐλη-
λύθασιν οὐκ εἰδότες οὔτε ἃ λέγουσιν, οὔτε περὶ τίνων διαβεβαι- 1 Tim. 1, 7
οῦνται, τυφλώττοντες τοὺς τῆς διανοίας ὀφθαλμούς, οὐκ ἔχοντες
10 *νοῦν ὁρῶντα τὸν θεὸν ὡς ὁ Ἰακὼβ οὔτε καθαρὰν καρδίαν τὴν* Gen. 32, 30
ὀψομένην τὸν θεόν, τὰ διὰ τὸν ἄνθρωπον τοῦ σωτῆρος ὃν δι' Mt. 5, 8
ἡμᾶς ἐφόρεσεν, γεγραμμένα ῥητὰ καὶ ἔργα ταπεινὰ καὶ πτω-
χὰς φωνὰς τῆι θεότητι τοῦ λόγου συνάπτοντες πλανῶνται καὶ

πλανῶσιν τοὺς ἀμαθεῖς καὶ ἀστηρίκτους, ἀνάγκην ἔσχομεν, ὡς
Iud. 3 ὁ Ἰούδας γράφει, ἐκθέσθαι διὰ τῆσδε τῆς ἐπιστολῆς ποῖα ῥητὰ τῆι θεότητι τοῦ λόγου ἁρμόζει καὶ ποῖα τῶι δι' ἡμᾶς ἀνα-
ληφθέντι ἀνθρώπωι. ὡς γὰρ ἐν ἑνὶ βαλλαντίωι χρύσεα νομί-
σματα καὶ ἀργύριον ἀπόκειται ἑνὸς βασιλέως εἰκόνα καὶ ἐπι-
γραφὴν τοῦ ὀνόματος ἑκάτερα ἔχοντα, ἀλλ' οἶδεν ὁ φυλάττων
αὐτὰ τραπεζίτης τὴν τοῦ χρυσίου ὑπεροχὴν παρὰ τὴν ὑποβεβη-
f. 107v κυῖαν τοῦ ἀργυρίου τιμήν, οὕτως κἂν ἐν μιᾶι γραφῆι περὶ τῆς
PG 1277 θεότητος τοῦ υἱοῦ καὶ περὶ οὗ ἐκ Μαρίας δι' ἡμᾶς ἐφόρεσεν
σώματος γέγραπται, ἀλλ' ἕκαστον αὐτῶν ἐπιγνωσόμεθα ὡς συ-
νετοὶ μαθηταὶ τοῦ ἑνὸς καὶ ὄντως διδασκάλου. ὅσαι τοίνυν
ταπειναὶ λέξεις καὶ ἔργα, εἰς τὸ σῶμα τοῦ Ἰησοῦ γεγραμμένα
νόει· ὅσα δὲ ἔνδοξα γράμματα, εἰς τὴν τοῦ λόγου θεότητα.
Mt. 4, 2 ὅταν πεινάσηι μετὰ τὸ νηστεῦσαι, τοῦ σώματος ἐλάττωμα· ἡνίκα
δὲ ἐκ πέντε ἄρτων τοὺς πεντακισχιλίους χωρὶς παιδίων καὶ
Mt. 14, 20 γυναικῶν τρέφει καὶ δώδεκα κοφίνους κλασμάτων περισσεύει,
Mc. 4, 38 τῆς θεότητος τοῦ λόγου ἔργον. ὅταν ἐπὶ τὸ προσκεφάλαιον
ἐν τῶι πλοίωι κοιμᾶται, ἀναπαύσεως σωματικῆς ἔργον· ὅταν
περιπατῶν ἐπὶ τῆς θαλάσσης ἀπειλῆι τοῖς κύμασιν καὶ τοῖς ἀνέ-
Mc. 4, 39 μοις σιώπα πεφίμωσο, εὐθὺς ἀκούει παρὰ τῶν ἐν τῶι πλοίωι
Mt. 14, 33 μεθ' ὅρκου ὁμολογούντων ἀληθῶς θεοῦ υἱὸς εἶ. ὅταν
Ioh. 11, 35 ἑστὼς πρὸς τῶι μνήματι Λαζάρου δακρύηι καί, ὁπηνίκα πά-
Mt. 24, 38. 41 σχειν ἔμελλεν, λέγηι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανά-
του καὶ ἀδημονῆι καὶ τὸ μὲν πνεῦμα τῆς θεότητος πρόθυμον
εἰς πᾶσαν οἰκονομίαν λέγηι, τὴν δὲ σάρκα ἀσθενῆ, τοῦ σώματος
ἀσθένεια τὸ λυπεῖσθαι καὶ ἀδημονεῖν· ὅταν κελευστικῶς λέγηι
Ioh. 11, 43. 39 Λάζαρε, δεῦρο ἔξω καὶ ἀναστῆι ζῶν ὁ νεκρὸς ὁ τεταρταῖος
f. 108r ἤδη λελυμένος, ὃ οὐκ ἐγένετο ἀπ' ἀρχῆς κτίσεως, τῆς θεότητος
Ioh. 4, 6 σημεῖον. ὅταν ἀπὸ τῆς ὁδοιπορίας ὑπὲρ ἡμῶν κεκοπιακὼς
ἐπὶ τῆς πηγῆς καθέζηται, τοῦ σώματος τὸ κοπιᾶν· ὅταν λέγηι
Mt. 11, 28 δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι,
κἀγὼ ἀναπαύσω ὑμᾶς, ἔργον τῆς θεότητος τὸ καὶ ἀπὸ
σωματικῶν νόσων καὶ κόπων καὶ τῶν κατὰ ψυχὴν κινδύνων
1 Petr. 2, 22 ἰᾶσθαι. ὅταν βαπτίζηται ὑπὸ Ἰωάννου ὃς ἁμαρτίαν οὐκ
ἐποίησεν οὐδὲ ηὑρέθη δόλος ἐν τῶι στόματι αὐτοῦ, τοῦ
σώματος ὑπὲρ ἡμῶν ἐξιλασμός· ὅταν κελεύηι τοὺς ἀποστόλους
Mt. 28, 19 βαπτίζειν πάντα τὰ ἔθνη εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου
Mt. 26, 39 πνεύματος, τῆι θείαι δυνάμει αὐτοῦ ἁρμόζει. ὅταν κλίνηι τὰ

γόνατα καὶ ὡς ἄνθρωπος προσεύχηται, τοῦ σώματος ὑπὲρ ἡμῶν ἐξομολόγησις· ὅταν ἐν τῶι ὄρει μεταμορφουμένου αὐτοῦ τὴν δόξαν μὴ δυνάμενοι φέρειν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης Mt. 17, 6
55 τὰ πρόσωπα καὶ τὰ γόνατα κλίνωσιν ἐπὶ τὴν γῆν, τῆς δόξης τῆς θεότητος τοῦ λόγου ἰσχύς. ὅταν στερεοποιῆι τοὺς ἀποστόλους λέγων μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, Mt. 10, 28 τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, τῆς θεότητος ἡ ἄδηλος καὶ ἰσχυρὰ παράκλησις· ὅταν παραιτῆται τὸ ἀποθανεῖν, Mt. 26, 39
60 τοῦ σώματος ἡ δειλία. πρὸ γὰρ τοῦ παραβῆναι τὸν Ἀδὰμ f. 108v οὔτε λύπη οὔτε δειλία οὐ κόπος οὐ λιμὸς οὐ θάνατος ἦν: —

6—26 θεότητα = Gel p. 546 [*Athanasii episcopi Alexandrini in libris contra Arianos*]; 24 ὅσαι—43 κοπιᾶν = flor. cod. Vat. 1431 f. 312; 24—42 σημεῖον = Gel p. 554 [*Athanasii episcopi Alexandrini in libris aduersus haereticos*]; 24—34 υἱὸς εἶ = Doctr. patr. 13, 10 [Ἀθανασίου ἐκ τοῦ δογματικοῦ λόγου]

15 τῆσδε fehlt m 16/7 ἀναληφθέντι L *intellegendo* [= νοουμένωι] Gel 22 οὗ] τοῦ L 25 ἔργα L Gel ἔργα πτωχὰ flor. ἔργα πτωχὰ ταῦτα Doctr. ιυ L Gel 554 χυ flor. κυ Doctr. υἱοῦ Gel 546 26 γράμματα L Gel Doctr. πράγματα flor. 27 πεινᾶι flor. Doctr. τὸ ἐλάττωμα flor. 28 τοὺσ πεντακισχιλίουσ L πεντακισχιλίουσ ἄνδρασ flor. Gel Doctr. 28/9 γυναικῶν καὶ παιδίων flor. Gel Doctr. 29 κλασμάτων κοφίνουσ Doctr. κοφίνουσ flor. 30 ἐπὶ L Gel Doctr. εἰσ flor. 31—34 ὅταν—εἶ fehlt flor. 35 πρὸσ λαζάρου—ἑστὼσ flor. 36 λέγει Lm ἐστιν—μου L Gel εἰμὶ flor. 37 ἀδημονῆ L ἀδημονεῖ m 38 λέγει Lm 43 καθέζεται L flor. 55 τῆσ δόξησ L ἐκ τῆς δόξης m 57 ἀποκτενόντων L

Ἐκ τοῦ αὐτοῦ λόγου

61 (25) Ἐγώ εἰμι, φησίν, ἡ τῶν σωιζομένων ὁδὸς καὶ ἡ τῶν Ioh. 14, 6 νεκρῶν ζωὴ καὶ ἡ τῶν ἀποφευγόντων τὸ ψεῦδος ἀλήθεια, λέγων τοῖς ἐν σκότει· ἀνακαλύφθητε, ἐγώ εἰμι τὸ φῶς τοῦ Ies. 49, 9
5 κόσμου. τὸν γὰρ Ἀδὰμ ἐνδυσάμενος σὺν τοῖς παθήμασιν Ioh. 8, 12 χωρὶς ἁμαρτίας, τὸν κεκλημένον Ἰησοῦν, δι' αὐτοῦ τὸ ἀπολό- Mt. 1, 21 μενον πρόβατον προσῆξεν τῶι πατρί, ὡς πρόβατον ἐπὶ σφα- Ies. 53, 7 γὴν ἀχθεὶς καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν PG 1280 ἄφωνος, περὶ οὗ ὁ Παῦλος γράφει· ἄνθρωπος Χριστὸς 1 Tim. 2, 5
10 Ἰησοῦς ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν καὶ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ ἐν ἑτέρωι τόπωι φησὶν ὁ ἀπόστολος· δι' ἀνθρώπου ὁ θάνατος καὶ δι' ἀνθρώπου ἡ ζωή. ὥσπερ 1 Cor. 15, 21. 22 γὰρ ἐν τῶι Ἀδὰμ πάντες ἀποθνήισκομεν, οὕτως καὶ ἐν τῶι Χριστῶι πάντες ζωοποιηθησόμεθα. καὶ πάλιν ἐν

ἑτέρωι τόπωι γράφει· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοικός, ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. τὸν τοίνυν πρῶτον Ἀδὰμ τὸν πρωτόπλαστον τοῦ κόσμου δηλοῖ, τὸν δὲ δεύτερον Ἀδὰμ τὸν κατὰ τὸν σωτῆρα νοούμενον ἄνθρωπον, ὃς καλεῖται υἱὸς ἀνθρώπου πρόβατον ἄμπελος ἄρτος δένδρον κόκκος σίτου καὶ τὰ τούτοις παραπλήσια, καλεῖται δὲ καὶ Ἀδάμ, εἰ καὶ πολλὴ ⟨ἡ⟩ τοῦ δευτέρου διαφορὰ παρὰ τὸν πρῶτον. ὃ μὲν γὰρ ἐκ γῆς γέγονεν, ὃ δέ, λόγος ὢν τοῦ πατρός, σὰρξ ἐγένετο, οὐ
f. 109r κενωθεὶς τὸ εἶναι λόγος διὰ τὸ σάρκα φορέσαι, καθ' ὃ οὐδὲ τὸ χρυσίον κενοῦται τῆς δόξης ἔνδον ξένου γλωσσοκόμου τυγχάνον: —

5 τὸν γάρ—14 ζωοποιηθησόμεθα = 23
6/7 ἵνα δι' αὐτοῦ—προσάξηι 23 8 ἤχθη 23 9 ὁ fehlt 23
10/11 καὶ—ἡμῶν fehlt 23 11 ὁ ἀπόστολος fehlt 23 13 ἀποθνήισκουσιν 23 14 ζωοποιηθήσονται 23 21 ἡ von mir ergänzt

Ἐκ τοῦ αὐτοῦ λόγου

62 Ἐὰν οὖν λέγηι ὁ ἀπόστολος τὸ ῥητὸν τὸ λέγον· ὁ ἐγείρας
Rom. 8, 11 Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν καὶ ἡμᾶς σὺν Ἰησοῦ ἐγείρει, μὴ αἰσχύνου λέγων· οὐκ ἠδύνατο ὁ κύριος τὸ οἰκεῖον ἀνεγεῖραι σῶμα, εἰ μὴ ὁ πατὴρ αὐτὸ ἤγειρεν. λέγουσι δὲ τοῦτο οἱ τὸν κύριον ὑβρίζοντες. νόει τὸν ἐκ νεκρῶν ἐγειρόμενον ἄνθρωπον, ὃν ἑρμηνεύει Πέτρος ὁ ἀπόστολος ἡμῶν μᾶλλον γινώσκων
Act 13, 29 καὶ λέγει· καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον, ὁ δὲ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. τὸ γοῦν ἀπὸ τοῦ ξύλου καθαιρεθὲν σῶμα νεκρὸν τοῦ Ἰησοῦ τὸ καὶ εἰς μνημεῖον τεθὲν ἐνταφιασθέν τε ὑπὸ Ἰωσὴφ τοῦ ἀπὸ
Ioh. 2, 19 Ἀριμαθείας, αὐτὸ ἤγειρεν ὁ λόγος λέγων· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὁ καὶ πάντας τοὺς νεκροὺς ζωοποιῶν καὶ τὸν ἐκ Μαρίας ἄνθρωπον Χριστὸν Ἰησοῦν ἐζωοποίησεν, ὃν αὐτὸς ἀνείληφεν ὁ τοῦ θεοῦ
Mt. 27, 52 λόγος. εἰ γὰρ ἐπὶ τοῦ σταυροῦ ὢν τὰ προδιαλυθέντα νεκρὰ τῶν ἁγίων σώματα ἤγειρεν, πολλῶι μᾶλλον ἐγεῖραι ἠδύνατο ὃ ἐφόρεσεν σῶμα ὁ ἀεὶ ζῶν θεὸς λόγος, ὡς ὁ Παῦλός φησιν·
Hebr. 4, 12 ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργής: —

7—15 ἀνείληφεν = 1; 7—19 = Th 3, 239. 240 [ἐκ τοῦ περὶ πίστεως λόγου τοῦ μείζονος]; 9 τὸ γοῦν—19 = Gel 547 [*eiusdem*]; 7—12 ὁ λόγος = Niketas' Catene zu Lc. 24, 39 [Mai, Noua bibl. patr. 2, 582]. Montfaucon hat dies Exzerpt ausgelassen, jenes am Schluß aus Theodoret ergänzt

3/4 *μὴ αἰοχύνου λέγων* verdorben, den Sinn stellt ungefähr her *μὴ αἰοχύνου συνομολογῶν μηδὲ ἔλεγχε λέγων* 6/7 *νόει—ὄν*] *τὸ ἐγειρόμενον ἐκ νεκρῶν ἄνθρωπος ἦν ἢ θεός*; 1 Th 15 *αὐτὸς* fehlt 1 Th Gel 15/16 *ὁ—λόγος* fehlt 1 Th Gel 16 *praedicta* [= *προδιαλεχθέντα*] Gel

Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ αὐτοῦ λόγου

63 (26) *Ὅταν δὲ ὁ ἡμέτερος διδάσκαλος φάσκῃ ἐν ἑτέρῳ τόπῳ·* f. 109v
κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας Hebr. 3, 1. 2
ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, μὴ
5 *δόξῃς ποίημα εἶναι τὸν ἀπ' ἀρχῆς πρὸς τὸν πατέρα θεὸν λόγον.*
οὐ γὰρ τὴν ἀόρατον θεότητα λέγει κατανοεῖν, ἀλλὰ τὸν κυριακὸν ἄνθρωπον, ὃν εἶπεν ὁ Παῦλος μεσίτην θεοῦ καὶ ἀνθρώπων, 1 Tim. 2, 5
ἄνθρωπον Χριστὸν Ἰησοῦν τὸν δόντα ἑαυτὸν ἀντίλυτρον ὑπὲρ
ἡμῶν, ὃν εἶπεν κατανοεῖν, Ἰησοῦν πιστὸν ὄντα τῷ ποιή- Hebr. 3, 1. 2
10 *σαντι αὐτόν, ὡς φησιν ὁ κύριος κατανοήσατε τοὺς κό-* Lc. 12, 24
ρακας πῶς οὐ σπείρουσιν καὶ τὰ ἑξῆς, καὶ πάλιν κατα- Lc. 12, 27
νοήσατε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνουσιν. τὰ οὖν Mt. 12, 28
φαινόμενα λέγει κατανοεῖν καὶ οὐκ ἀγγέλους ἢ ἑτέρας κτίσεις
ἀοράτους. κἂν γὰρ λέγῃ Ἀμβακοὺμ ὁ προφήτης κατενόησα Hab. 3, 2
15 *τὰ ἔργα σου καὶ ἐξέστην, ἔργα λέγει κατενόησα καὶ οὐ*
τὸν τῶν ἔργων ποιητὴν καὶ ὁ ἀπόστολος τὸ φαινόμενον τοῦ
κυρίου σῶμα λέγει κατανοεῖν, οὐ τὴν ἀόρατον τοῦ λόγον θεό-
τητα. θεὸν γὰρ οὐδεὶς ἑώρακεν πώποτε οὔτε ἰδεῖν Ioh. 1, 18
δύναται, καίπερ θεὸς ἦν ὁ λόγος καὶ ἔστιν, ὡς φησιν ὁ θεο- Ioh. 1, 1
20 *λόγος Ἰωάννης. ὃν τοίνυν κατανοεῖν ἀκούομεν ἄνθρωπον*
Χριστὸν Ἰησοῦν, ὃς δέδωκεν ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν, ὃν
λέγει ἀπόστολον καὶ ἀρχερέα πιστὸν ὄντα, τὸ ποίημα νοεῖν λέ-
γει· πάντα οὖν ἐκτίσθησαν, κτίσμα δὲ οὔκ ἐστιν ὁ τοῦ θεοῦ
λόγος, ὅς ἐστιν υἱός, ἀλλὰ γέννημα κατὰ φύσιν. τὰ γὰρ πάντα f. 110r
25 *ὁ πατὴρ διὰ τοῦ λόγου ἔκτισεν, ὡς φησιν ὁ Παῦλος, ἐν ᾧι τὰ* Col. 1, 16
πάντα ἐκτίσθησαν, καὶ ὡς ὁ Ἰωάννης λέγει, πάντα δι' αὐτοῦ Ioh. 1, 3
ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, αὐτὸν δὲ τὸν
λόγον οὐ κτίζει, ἀλλὰ γεννᾶι. δι' αὐτοῦ γὰρ τοῦ λόγου πάντα
ἐγένετο καὶ ἐκτίσθη, οὐκ αὐτὸς δὲ ἐγένετο, ἀλλ' ὅνπερ δι' ἡμᾶς
30 *ἐφόρεσεν ἄνθρωπον γεγονότα καὶ κτισθέντα, δηλοῦσιν αἱ γραφαί:—*

28—30 = 24

19 *καίπερ*] ich vermute *καί* 27 *οὐδέν* m 28 *γεννᾶι ὁ θεός* m

Ἐκ τοῦ αὐτοῦ λόγου

PG 1281 **64** (27) *Φησὶν γὰρ ὁ κύριος· πᾶν κλῆμα τὸ μένον ἐν ἐμοὶ καρπὸν*
Ioh. 15, 5 *φέρει. καὶ ἐν ὧι ἐφόρεσεν ἀνθρώπωι ἐκ τοῦ γηγενοῦς Ἀδάμ,*
ζωοποιήσει τὸ ἐκ τοῦ Ἀδὰμ γένος, θανατωθεὶς σαρκί, ζωο-
1 Petr. 3, 18 *ποιηθεὶς δὲ πνεύματι, ὡς ὁ Πέτρος γράφει * * ὅτι σαρκὶ* 5
θανατωθέντα αὐτὸν ὑπὲρ ἡμῶν λέγει καὶ οὐ τῆι ἀθανάτωι ζωο-
Ioh. 14, 6 *ποιῶι θεότητι. φησὶν γὰρ ὁ κύριος ἐγώ εἰμι ἡ ζωή· ἡ*
γοῦν ζωὴ οὐκ ἀποθνήισκει, τοὺς νεκροὺς δὲ μᾶλλον ζωοποιεῖ.
ὡς γὰρ τὸ φῶς οὐ βλάπτεται ἐν σκοτεινῶι τόπωι, οὐδὲ ἡ ζωὴ
παθεῖν τι δύναται ἐπισκεψαμένη τὴν θνητὴν φύσιν. ἄτρεπτος 10
γὰρ καὶ ἀναλλοίωτος ἡ τοῦ λόγου θεότης: —

2—4 = 25; 9 *ἡ γοῦν* — 11 = Th 3, 240; 9 *ὡς γὰρ* — 11 = Gel 547. 554; 7. 8 *ἡ γοῦν—ζωοποιεῖ* = Niketas' Catene zu Lc. 24, 39 [Mai Nova bibl. patr. 2, 582]. Th Gel fügen am Schluß noch hinzu: *ὥς*
Mal. 3, 6 *φησιν ἐν προφητείαι ὁ κύριος περὶ ἑαυτοῦ· ἴδετέ με ὅτι ἐγὼ εἰμὶ καὶ οὐκ ἠλλοίωμαι*

2 *τὸ* fehlt m und 25 3 *ὧι*]*τῶ* L *γηγενοῦσ* L *γένουσ* 25 4 *ἐζωοποίησεν* 25 *ἀδὰμ γένοσ* L hier *γένουσ ἀδὰμ* 25 5 Lücke von mir angesetzt 8 *οὐκ* L Th Nik *οὐδὲ* m *νεκροὺσ δὲ μᾶλον* L *δὲ νεκροὺς* Th Nik 9 *οὐδὲ* Th *οὔτε* L

Ἐκ τοῦ αὐτοῦ λόγου

Ies. 40, 13 **65** (28) *Τίς γάρ φησιν, ἔγνω νοῦν κυρίου ἢ τίς σύμβουλος*
αὐτοῦ ἐγένετο, ὃς συμβιβάσει αὐτόν; μόνος ὁ υἱὸς σύμ-
f. 110v *βουλός ἐστιν τοῦ πατρὸς καὶ τὸν νοῦν αὐτοῦ ἔγνω ὁ λέγων*
Lc. 10, 22 *οὐδεὶς ἐπιγινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱός, καὶ τὸν* 5
υἱὸν οὐδεὶς ἐπιγινώσκει εἰ μὴ ὁ πατὴρ καὶ ὧι ἐὰν ὁ
υἱὸς ἀποκαλύψηι. λέγει τοίνυν καὶ Ἰωάννης περὶ τοῦ κυ-
1 Ioh. 3, 2 *ρίου· ὅταν φανερωθῆι, ὅμοιοι αὐτῶι ἐσόμεθα καὶ ὀψό-*
μεθα αὐτὸν καθὼς ἔστιν. ὅρα ὅτι ἕως τοῦ νῦν οὐδεὶς
εἶδεν τὸν υἱὸν τοῦ θεοῦ ὡς ἔστιν, ἄχρι τοῦ φανερῶσαι ἑαυτὸν 10
ἡμῖν· ὃν δὲ ἐφόρεσεν δι' ἡμᾶς ἄνθρωπον, εἴδομεν, ὃν εἶπεν ὁ
Hebr. 3, 1. 2 *Παῦλος· κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς*
ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῶι ποιήσαντι
Act. 7, 56 *αὐτόν, ὃν καὶ Στέφανος λέγει· θεωρῶ τὸν υἱὸν τοῦ ἀνθρώ-*
που ἐκ δεξιῶν ἑστῶτα τῆς δυνάμεως τοῦ θεοῦ. οὐκ εἶ- 15
πεν τὸν λόγον ἢ τὴν σοφίαν τοῦ πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν
υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ τῆς Μαρίας κυριακὸν σῶμα, ὃ καὶ
Hebr. 10, 12 *Παῦλος λέγει· ὃς ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ· περὶ οὗ*
σώματος ὁ Δαυίδ φησιν ἐκ προσώπου τοῦ πατρὸς προφητικῶς·

κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου Ps. 109, 1
ὑποπόδιον τῶν ποδῶν σου, οὓς προεγίνωσκεν ἐχθροὺς ἐσο-
μένους, τὸν διάβολον καὶ τὰς συνεργούσας αὐτῶι ἀντικειμένας
ἐνεργείας, αἵτινες ἤχθρευον τῶι κυριακῶι ἀνθρώπωι γινώσκου-
σαι διὰ τοῦ θανάτου αὐτοῦ καταργουμένας ἑαυτὰς καὶ τὸν τὸ
κράτος ἔχοντα τοῦ θανάτου τὸν διάβολον καὶ τοὺς ἐχθρεύσαντας Hebr. 2, 14
αὐτῶι Ἰουδαίους, εἰς οὓς τὸ γεγραμμένον πληροῦται ὅτι ἐμίση- f. 111r
σάν με δωρεάν, ἀνθ' ὧν τὰ πρὸς ὠφέλειαν διδασκόμενοι Ioh. 15, 25
μαστίζειν καὶ σταυροῦν ἐτόλμων, Σαμαρείτην αὐτὸν καὶ δαι- Ioh. 8, 48
μονιζόμενον καὶ ἄνθρωπον ἁμαρτωλὸν λέγοντες, καίτοι δι' αὐ-
τοῦ τῆς ἁμαρτίας κατακριθείσης. εἰς ὃν γέγραπται· ὄψονται Ioh. 19, 37
εἰς ὃν ἐξεκέντησαν, ὅνπερ ἐν τῆι κρίσει ὁρῶντες κρίνοντα
ζῶντας καὶ νεκρούς, ὥς φησιν Ἰωάννης περὶ τοῦ κυρίου, καθὼς Ioh. 5, 27
ἔδωκεν αὐτῶι κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν,
μεταμελόμενοι φυλὴ κατὰ φυλῆς ἐροῦσιν· οὗτος ἦν ὃν ἔσχομέν Sap. 5, 3
